ἡ λ΄ τοῦ ζ΄ πρῶτός ἐστιν καὶ οὐδενὶ
τῶν Β Γ Δ ὁ αὐτός· τὸν
Ζ ἄρα μετροῦσιν ἐλάσ
σονα ὄντα τοῦ Α· ὅπερ
ἀδύνατον· ὁ γὰρ Α ὑ
πόκειται ἐλάχιστος ὑ
πὸ τῶν Β Γ Δ μετρούμε
νος· οὐκ ἄρα τὸν Α με
τρήσει πρῶτος ἀρ
ιθμὸς παρὲξ τῶν Β Γ Δ· ὅπερ ἔδει δεῖξαι:-



ιε΄ Ἐὰν τρεῖς ἀριθμοὶ ἑξῆς ἀνάλογον ὦσιν ἐλάχιστοι τῶν
τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς· δύο ὁποσοιοῦν (ὁποιοιοῦν) συν
τεθέντες πρὸς τὸν λοιπὸν πρῶτοί εἰσιν· ἔστωσαν
τρεῖς ἀριθμοὶ ἑξῆς ἀνάλογον ἐλάχιστοι τῶν τὸν αὐ
τὸν λόγον ἐχόντων αὐτοῖς οἱ Α Β Γ· λέγω ὅτι τῶν Α Β Γ δύ
ο ὁποσοιοῦν (ὁποιοιοῦν) συντεθέντες πρὸς τὸν λοιπὸν πρῶτοί εἰσιν·
[illegible] οἱ μὲν Α Β πρὸς τὸν Γ· οἱ δὲ Β Γ πρὸς τὸν Α· καὶ ἔτι οἱ Α Γ πρὸς
τὸν Β· εἰλήφθωσαν γὰρ ἐλάχιστοι ἀριθμοὶ τῶν τὸν αὐτὸν
λόγον ἐχόντων τοῖς Α Β Γ δύο οἱ ΔΕ ΕΖ· φανερὸν δὴ ὅ
τι ὁ μὲν ΔΕ ἑαυτὸν πολλαπλασιάσας τὸν Α πεποίη
κεν· τὸν δὲ ΕΖ πολλαπλασιάσας τὸν Β πεποίηκεν·
καὶ ἔτι ὁ ΕΖ ἑαυτὸν πολλαπλασιάσας τὸν Γ πεποίηκεν·
ἡ κγ΄ τοῦ ζ΄ καὶ ἐπεὶ οἱ ΔΕ ΕΖ ἐλάχιστοί εἰσι· πρῶτοι πρὸς ἀλλήλους εἰσίν·
ἐὰν δὲ δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ὦσιν· καὶ
ἡ λ΄ τοῦ ζ΄ συναμφότερος πρὸς ἑκάτερον πρῶτός ἐστι· καὶ ὁ ΔΖ
ἡ κε΄ τοῦ ζ΄ ἄρα πρὸς ἑκάτερον τῶν ΔΕ ΕΖ πρῶτός ἐστιν· ἀλλὰ μὴν

καὶ ὁ ΔΕ πρὸς τὸν ΕΖ πρῶτός ἐστιν· οἱ ΔΖ ΔΕ ἄρα πρὸς τὸν ΕΖ [illegible] κβ΄ τοῦ ζ΄
πρῶτοί εἰσιν· καὶ ὁ ἐκ τῶν ΖΔ ΔΕ ἄρα πρὸς τὸν ΕΖ πρῶ
τός ἐστιν· ἐὰν δὲ δύο ἀριθμοὶ πρῶτοι πρὸς ἀλλήλους ἡ κε΄ τοῦ ζ΄
ὦσιν ὁ ἀπὸ τοῦ ἑνὸς αὐτῶν γενόμενος πρὸς τὸν λοι
πὸν πρῶτός ἐστιν· ὥστε ὁ ἐκ τῶν ΖΔ ΔΕ καὶ πρὸς τὸν ἡ κζ΄ τοῦ ζ΄
ἀπὸ τοῦ ΕΖ πρῶτός ἐστιν· [illegible] ὁ ἄρα ἀπὸ ΔΕ μετὰ τοῦ ὑπὸ ΔΕ ΕΖ [illegible] ἀπὸ τοῦ ΕΖ ἐκ τῶν ΔΕ ΕΖ ἡ γ΄ τοῦ β΄
τοῦ ΔΕ ἐστὶ μετὰ τοῦ ἐκ τῶν ΔΕ ΕΖ [illegible] ὁ Α· ὁ δὲ ἐκ τῶν
πρῶτός ἐστι· καὶ ἔστιν ὁ μὲν ἀπὸ [illegible] ΔΕ ὁ Α· ὁ δὲ ἐκ τῶν
ΔΕ ΕΖ ὁ Β· ὁ δὲ ἀπὸ τοῦ [illegible] οἱ Α Β ἄρα συντεθέν
τες πρὸς τὸν Γ πρῶτοί εἰσιν· ὁμοίως δὴ δείξομεν
ὅτι καὶ οἱ Β Γ πρὸς τὸν Α πρῶτοί εἰσιν· λέγω δὴ ὅτι καὶ οἱ
Α Γ πρὸς τὸν Β πρῶτοί εἰσιν· ἐπεὶ γὰρ ὁ ΔΖ πρὸς ἑκάτερον ἡ κζ΄ ἢ κη΄ τοῦ ζ΄
τῶν ΔΕ ΕΖ πρῶτός ἐστιν [illegible] καὶ ὁ ἀπὸ τοῦ
ΔΖ πρὸς τὸν ὑπὸ τῶν ΔΕ ΕΖ πρῶτός ἐστιν· [illegible] ἀλλὰ τῷ ἡ δ΄ τοῦ β΄
ἀπὸ τοῦ ΔΖ ἴσοι εἰσὶν οἱ ἀπὸ τῶν [illegible] μετὰ τοῦ δὶς
ὑπὸ τῶν ΔΕ ΕΖ· καὶ οἱ ἀπὸ τῶν ΔΕ ΕΖ ἄρα μετὰ τοῦ δὶς ὑπὸ ΔΕ ΕΖ πρὸς τὸν ὑπὸ ΔΕ ΕΖ πρῶτοί εἰσι· διελόν
τι· ὁ ἀπὸ τῶν ΔΕ ΕΖ μετὰ
τοῦ ἅπαξ ὑπὸ ΔΕ ΕΖ πρὸς
τὸν ὑπὸ ΔΕ ΕΖ πρῶτός ἐστιν·
διελόντι· ὁ ἀπὸ τῶν ΔΕ
ΕΖ ἄρα πρὸς τὸν ὑπὸ ΔΕ ΕΖ
πρῶτός ἐστιν· καὶ ἔστιν ὁ μὲν
ἀπὸ τοῦ ΔΕ ὁ Α· ὁ δὲ ὑπὸ
τῶν ΔΕ ΕΖ ὁ Β· ὁ δὲ ὑπὸ
τοῦ ΕΖ ὁ Γ· οἱ Α Γ ἄρα συν
τεθέντες πρὸς τὸν Β πρῶτοί εἰσιν· ὅπερ ἔδει δεῖξαι:-



ἡ λ΄ τοῦ ζ΄

[illegible]

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo